# ETA SIGMA PHI

## Annual Greek Translation Contest (2006)
## Advanced

To be written as an examination, under supervision, within a maximum of two hours. No lexicon or other help is permitted. Please write in ink on every other line of the paper provided. The only identification on the contest papers should be your pen name.

*************************************************************

The Miseries of Growing Up. (Pseudo-Platonic *Axiochus*, 1 c. BCE)

Τί μέρος τῆς ἡλικίας ἄμοιρον τῶν ἀνιαρῶν; οὐ κατὰ μὲν τὴν πρώτην γένεσιν τὸ νήπιον κλάει, τοῦ ζῆν ἀπὸ λύπης ἀρχόμενον; οὐ λείπεται γοῦν οὐδεμιᾶς ἀλγηδόνος, ἀλλ᾽ ἢ δι᾽ ἔνδειαν ἢ περιψυγμὸν ἢ θάλπος ἢ πληγὴν ὀδυνᾶται, λαλῆσαι μὲν οὔπω δυνάμενον ἃ πάσχει, κλαυθμυριζόμενον δὲ καὶ ταύτην τῆς δυσαρεστήσεως μίαν ἔχον φωνήν. ὁπόταν δὲ εἰς τὴν ἑπταετίαν ἀφίκηται πολλοὺς πόνους διαντλῆσαν, ἐπέστησαν παιδαγωγοὶ καὶ γραμματισταὶ καὶ παιδοτρίβαι τυραννοῦντες·

αὐξανομένου δὲ κριτικοί, γεωμέτραι, τακτικοί, πολὺ πλῆθος δεσποτῶν. ἐπειδὰν δὲ εἰς τοὺς ἐφήβους ἐγγραφῇ, κοσμητὴς καὶ φόβος χειρῶν, ἔπειτα Λύκειον καὶ Ἀκαδήμεια τοῦ μειρακίσκου πόνος ἐστιν ὑπὸ σωφρονιστὰς καὶ τὴν ἐπὶ τοὺς νέους αἵρεσιν τῆς ἐξ Ἀρείου πάγου βουλῆς. ἐπειδὰν δὲ ἀπολυθῇ τούτων, φροντίδες ἄντικρυς ὑπέδυσαν καὶ διαλογισμοὶ τίνα τὴν τοῦ βίου ὁδὸν ἐνστήσονται, καὶ τοῖς ὕστερον χαλεποῖς ἐφάνη τὰ πρῶτα παιδιὰ καὶ νηπίων ὡς ἀληθῶς φόβητρα.

**ἀνιαρῶν** from ἀνιαρός, -ή, -ον grievous, painful; **ἀλγηδόνος** from ἀλγηδών, pain, suffering, grief
**περιψυγμὸν** from περιψυγμός, chill, cold; **ὀδυνᾶται** from ὀδυνάομαι, feel pain
**κλαυθμυριζόμενον** from κλαυθμυρίζομαι weep
**δυσαρεστήσεως** from δυσαρέστησις, discomfort; **διαντλῆσαν** from διαντλέω, endure; **κριτικοί, γεωμέτραι, τακτικοί** teachers, geometers, teachers of arms drill
**ἐγγραφῇ** from ἐγγράφω, enter into the public register
**κοσμητὴς**, disciplinary officer; **μειρακίσκου** from μειρακίσκος, lad, stripling
**σωφρονιστὰς**, controllers; **τὴν ἐπὶ τοὺς νέους αἵρεσιν**, the (authorities) over the young chosen (+ gen. of agent); **ἄντικρυς** outrightly; **ὑπέδυσαν** insinuate themselves; **φροντίδες**, anxieties, worries; **διαλογισμοὶ** debates; **παιδιὰ**, a mere game; **φόβητρα**, bugbears, scarecrows, terrors